ἐκέλευσεν· ἐπειπὼν μόνον· κελεύει Χριστὸς ἀφιέναι τῷ ἀδελφῷ τὸν ἀφέσεως
τυχεῖν ἐπειγόμενον· τότε οὖν τοῖς περὶ ὁμονοίας καὶ εἰρήνης λόγοις εἰς πλά-
τος διεξελθὼν, αὖθις περὶ τῶν δογμάτων ἐπιμελέστερον ἐπισκέψασθαι
τῇ αὐτῶν γνώμῃ ἐπέτρεψεν· οἷα δὲ καὶ περὶ τούτων ἐν τῷ αὐτοῦ τρίτῳ
βιβλίῳ τῶν εἰς τὸν βίον Κωνσταντίνου ὁ αὐτὸς ἔφησεν Εὐσέβιος, ἐπακοῦσαι Εὐσεβί(ου)
καλόν. ἔχει δὲ ταῦτα· λείψωμεν δὴ τῶν ὑφ' ἑκατέρου τάγματος προτεινο-
μένων, πολλῆς τε ἀμφιλογίας τὰ πρῶτα συνισταμένης, ἀνεξικάκως ἐπηκροᾶτο
ὁ βασιλεὺς τῶν πάντων· σχολῇ τε εὐτόνῳ τὰς προτάσεις ὑπεδέχετο ἐν
μέρει τε ἀντιλαμβανόμενος τῶν παρ' ἑκατέρου τάγματος λεγομένων, ἠρέμα
συνῆγε τοὺς φιλονείκως ἐνισταμένους· πρᾴως τε ποιούμενος τὰς πρὸς ἕ-
καστον ὁμιλίας, ἑλληνίζων τε τῇ φωνῇ ὅτι μηδὲ ταύτης ἀμαθῶς εἶχε,
γλυκύτερός τις ἦν καὶ ἡδύς· τοὺς μὲν συμπείθων, τοὺς δὲ καὶ δυσωπῶν
τῷ λόγῳ· τοὺς δὲ εὖ λέγοντας, ἐπαινῶν· πάντας δὲ εἰς ὁμόνοιαν ἐλαύνων,
ὁμογνώμονάς τε καὶ ὁμοδόξους αὐτοὺς, ἐπὶ τοῖς ἀμφισβητουμένοις ἅπασιν
ἐπὶ τὸ αὐτὸ κατεστήσατο· ὡς ὁμοφώνως μὲν κρατῆσαι τὴν πίστιν· τὸν
δὲ σωτήριον ἑορτῆς τὸν αὐτὸν παρὰ τοῖς πᾶσιν ὁμολογηθῆναι καιρόν· ἐκυ-
ροῦτο τε ἤδη· καὶ ἐγράφετο δι' ὑποσημειώσεως ἑκάστου τὰ κοινῇ δεδογ-
μένα. Τοιαῦτα καὶ περὶ τούτων ταῖς ἑαυτοῦ φωναῖς ὁ Εὐσέβιος ἐγγράφως κατέ-
λιπεν· ἡμεῖς δὲ οὐκ ἀκαίρως αὐτοῖς ἐχρησάμεθα· ἀλλ' ὡς μάρτυσι χρώ-
μενοι τοῖς ὑπ' αὐτοῦ λεχθεῖσι, τῇ ἑαυτῶν κατετάξαμεν γραφῇ· ἵν' ὅταν
τινὲς τὴν ἐν Νικαίᾳ σύνοδον ὡς περὶ τὴν πίστιν σφαλεῖσαν καταγινώσκωσι,
μὴ αὐτῶν ἀνεχώμεθα· μηδὲ πιστεύωμεν Σαβίνῳ τῷ Μακεδονιανῷ, ἰδι-
ώτας αὐτοὺς καὶ ἀφελεῖς καλοῦντι τοὺς ἐκεῖ συνελθόντας· Σαβῖνος γὰρ ὁ τῆς
ἐν Ἡρακλείᾳ τῆς Θρᾴκης Μακεδονιανῶν ἐπίσκοπος, συναγωγὴν ὧν
διάφοροι σύνοδοι ἐγγράφως ἐξέδωκαν ποιησάμενος, τοὺς μὲν ἐν Νικαίᾳ,
ὡς ἀφελεῖς καὶ ἰδιώτας διασύρει· μὴ αἰσθανόμενος ὅτι καὶ αὐτὸν Εὐσέβιον, τὸν μετὰ
πολλῆς δοκιμασίας τὴν πίστιν ὁμολογήσαντα, ὡς ἰδιώτην διαβάλλει· καὶ
τινὰ μὲν ἑκὼν παρέλιπε· τινὰ δὲ παρέτρεψε· πάντα δὲ πρὸς τὸν οἰκεῖον
σκοπὸν μᾶλλον ἐξείληφε· καὶ ἐπαινεῖ μὲν τὸν Παμφίλου Εὐσέβιον, ὡς
ἀξιόπιστον μάρτυρα· ἐπαινεῖ δὲ καὶ τὸν βασιλέα ὡς τὰ Χριστιανῶν δογ-
ματίζειν δυνάμενον· μέμφεται δὲ τὴν ἐκτεθεῖσαν ἐν Νικαίᾳ πίστιν, ὡς
ὑπὸ ἰδιωτῶν καὶ οὐδὲν ἐπισταμένων ἐκδεδομένην· καὶ ὃν ὡς σοφὸν καὶ ἀληθεύ-
οντα καλεῖ μάρτυρα, τούτου τὰς φωνὰς ἑκουσίως ὑπερορᾷ· φησὶ γὰρ ὁ Εὐ-
σέβιος ὅτι τῶν παρόντων ἐν τῇ Νικαίᾳ τοῦ θεοῦ λειτουργῶν, οἱ μὲν διέπρεπον